σχηματισμοῖς, ὡς ἀπηλιωτικοὺς ἀῤῥενοῦσθαι, ἐν δὲ τοῖς λοιποῖς δυσὶ τεταρτημορίοις ὡς δυτικοὺς θηλύνεσθαι.

### Περὶ ἡμερινῶν καὶ νυκτερινῶν.

Ὁμοίως δ᾽ ἐπειδὴ τὸν ποιοῦντα τὸν χρόνον τὰ ἐμφανέστατα διαστήματα δύο ταῦτα τυγχάνει, τό τε τῆς ἡμέρας ἠῤῥενωμένον μᾶλλον διὰ τὸ ἐν αὐτῇ θερμὸν καὶ δραστικόν, καὶ τὸ τῆς νυκτὸς τεθηλυμένον μᾶλλον, διὰ τὸ κατ᾽ αὐτὴν δίυγρον καὶ ἀναπαυστικόν, νυκτερινοὺς μὲν ἀκολούθως παραδεδώκασι τήν τε ☾ καὶ τὸν τῆς ♀. ἡμερινοὺς δὲ τόν τε ☉ καὶ τὸν ♃. ἐπίκοινον δὲ κατὰ ταῦτα τὸν τοῦ ☿, καὶ ἐν μὲν τῷ ἑῴῳ σχήματι ἡμερινόν, ἐν δὲ τῷ ἑσπερίῳ νυκτερινόν. προσένειμαν δὲ ἑκατέρᾳ τῶν αἱρέσεων καὶ τοὺς δύο τοὺς τῆς φθαρτικῆς οὐσίας. οὐκ ἔτι μέντοι κατὰ τὰς αὐτὰς τῆς φύσεως αἰτίας, ἀλλὰ κατὰ τὰς ἐναντίας. τοῖς μὲν γὰρ τῆς ἀγαθῆς κράσεως οἰκειούμενα τὰ ὅμοια μεῖζον αὐτῶν τὸ ὠφέλιμον ποιεῖ. τοῖς δὲ φθαρτικοῖς τὰ ἀνοίκεια μισγόμενα παραλύει τὸ σφοδρὸν τῆς κακώσεως αὐτῶν. ὅθεν τὸν μὲν τοῦ ♄ ψυκτικὸν ὄντα, τῷ θερμῷ τῆς ἡμέρας ἀπένειμαν, τὸν δὲ ♂ ξηρὸν ὄντα τῷ ὑγρῷ τῆς νυκτός, οὕτω γὰρ ἑκάτερος ὑπὸ τῆς ἐναντίας κράσεως τῆς συμμετρίας τυχών, οἰκεῖος γίνεται τῆς τὸ εὔκρατον παρεχούσης αἱρέσεως.

### Περὶ τῆς δυνάμεως τῶν πρὸς τὸν ☉ σχηματισμῶν.

Ἤδη μέντοι καὶ παρὰ τοὺς πρὸς τὸν ἥλιον συσχηματισμοὺς ἥ τε ☾, καὶ οἱ τρεῖς τῶν πλανωμένων ὅ τε τοῦ ♄, καὶ ὁ τοῦ ♃ καὶ ὁ τοῦ ♂, τὸ μᾶλλον καὶ ἧττον λαμβάνουσιν, ἐν ταῖς οἰκείαις ἑαυτῶν δυνάμεσιν. ἥ τε γὰρ ☾ κατὰ μὲν τὴν ἀπὸ *ἀνατολῆς μέχρι τῆς πρώτης διχοτόμου αὔξησιν, ὑγρότητος ἐστὶ μᾶλλον ποιητική, κατὰ δὲ τὴν ἀπὸ πρώτης διχοτόμου μέχρι πανσελήνου, θερμότητος, κατὰ δὲ τὴν ἀπὸ πανσελήνου, μέχρι δευτέρας διχοτόμου, ξηρότητος, κατὰ δὲ τὴν ἀπὸ δευτέρας διχοτόμου μέχρι *κρύψεως, ψυχρότητος. οἵ τε πλανώμενοι καὶ ἑῷοι μόνον ἀπὸ μὲν τῆς ἀνατολῆς μέχρι τοῦ πρώτου στηριγμοῦ μᾶλλον εἰσὶν ὑγραντικοί, ἀπὸ δὲ τοῦ πρώτου στηριγμοῦ, μέχρι τῆς ἀκρονύκτου μᾶλλον θερμαντικοί, ἀπὸ δὲ τῆς ἀκρονύκτου μέχρι τοῦ δευτέρου στηριγμοῦ μᾶλ-